quæ eiuſdem ſpeciei ſunt, multipliciter, prius videlicet, & poſterius alia, quàm alia, vt ſanitatis medicus, & artifex: & ipſius diapaſon, duplum, & numerus, & illa ſemper, quæ continent quodcunque particularium. Item, vt ipſum accidens, & eorum genera, vt ſtatuæ, aliter Polycletus, & aliter ſtatuarius, quia accidit ſtatuario Polycleto eſſe: & ea, quæ continent accidens, vt homo cauſa ſtatuæ, aut ſimpliciter animal, quoniam Polycletus homo, homo autem animal eſt. Eſt autem accidentium quoque aliud alio remotius, & propinquius: vtputa, ſi albus, & muſicus dicantur ſtatuæ cauſa, & non ſolùm Polycletus, aut homo. Præter omnes autem, quæ propriæ dicuntur, quæve ſecundum accidens, aliæ vt potentia dicuntur, aliæ vt agentes: vt ædificij extruendi, ædificator, aut ædificans ædificator. Similiter autem illæ quoque dicuntur de iis quorum cauſæ ſunt: vt huius ſtatuæ, aut ſtatuæ, aut ſimpliciter imaginis: aut huius æris, aut æris, aut ſimpliciter materiæ: & de accidentibus ſimiliter. Item, hæ, & illæ, coniunctæ dicentur: vtputa non Polycletus, nec ſtatuarius, ſed Polycletus, ſtatuarius. Attamen hæ omnes, multitudine quidem ſex ſunt: dicuntur autem dupliciter: aut enim vt ſingulare, aut vt genus eius: aut vt accidens, aut vt genus accidentis: aut vt coniunctæ aut ſimpliciter dictæ, item tanquam agentes, aut ſecundum potentiam. Differunt autem, eo quòd agentes quidem & ſingulares ſimul ſunt, & non ſunt tam ipſæ, quàm illa, quorum cauſæ ſunt: veluti hic medicans, huic conualeſcenti, & hic ædificator, huic quod ædificatur. Quòd verò ſecundum potentiam, non ſemper: corrumpitur enim non ſimul domus, & ædificator.

CAPVT III.

Elementum dicitur, ex quo componitur primo inexiſtente indiuiſibili ſpecie in aliam ſpeciem: vt vocis elementa ex quibus componitur vox, & in quæ vltima diuiditur: illa verò, non amplius in alias voces ab ipſis ſpecie diuerſas: ſed & ſi diuidantur, particulæ tamen eorum eiuſdem ſpeciei ſunt: vt aquæ particula, aqua: ſed non ſyllabæ. Similiter etiam corporum elementa dicunt, ea dicentes vltima, in quæ corpora diuiduntur: illa verò, non amplius in alia ſpecie differentia

A καὶ αὐτῶν τῶν ὁμοειδῶν, προτέρως καὶ ὑστέρως ἄλλο ἄλλου· οἷον, ὑγιείας ὁ ἰατρὸς καὶ τεχνίτης· καὶ τοῦ διὰ πασῶν, τὸ διπλάσιον καὶ ἀριθμός· καὶ ἀεὶ τὰ περιέχοντα ὁποιοῦν τῶν καθ᾽ ἕκαστα. ἔτι δ᾽ ὡς τὸ συμβεβηκὸς καὶ τὰ τούτων γένη, οἷον, ἀνδριάντος, ἄλλως Πολύκλειτος, καὶ ἄλλως ἀνδριαντοποιὸς, ὅτι συμβέβηκε τῷ ἀνδριαντοποιῷ Πολυκλείτῳ εἶναι. B καὶ τὰ περιέχοντα δὲ τὸ συμβεβηκὸς, οἷον ἄνθρωπος αἴτιος ἀνδριάντος. ἢ καὶ ὅλως ζῶον, ὅτι ὁ Πολύκλειτος ἄνθρωπος, ὁ δὲ ἄνθρωπος ζῶον. ἔστι δὲ καὶ τῶν συμβεβηκότων ἄλλο ἄλλων πορρώτερον, καὶ ἐγγύτερον· οἷον, εἰ ὁ λευκὸς καὶ ὁ μουσικὸς αἴτιος λέγοιτο τοῦ ἀνδριάντος, ἀλλὰ μὴ μόνον Πολύκλειτος ἢ ἄνθρωπος. παρὰ πάντα δὲ καὶ τὰ οἰκείως λεγόμενα καὶ τὰ κατὰ συμβεβηκὸς, τὰ μὲν ὡς δυνάμενα λέγεται, C τὰ δ᾽ ὡς ἐνεργοῦντα, οἷον τοῦ οἰκοδομεῖσθαι, οἰκοδόμος, ἢ οἰκοδομῶν οἰκοδόμος. ὁμοίως δὲ λεχθήσεται καὶ ἐφ᾽ ὧν τὰ αἴτια τοῖς εἰρημένοις· οἷον τοῦδε τοῦ ἀνδριάντος ἢ ἀνδριάντος, ἢ ὅλως εἰκόνος, ἢ χαλκοῦ τοῦδε ἢ χαλκοῦ, ἢ ὅλως ὕλης. καὶ ἐπὶ τῶν συμβεβηκότων ὡσαύτως. ἔτι δὲ συμπλεκόμενα ταῦτα κἀκεῖνα λεχθήσεται· οἷον οὐ Πολύκλειτος οὐδὲ D ἀνδριαντοποιὸς, ἀλλὰ Πολύκλειτος ἀνδριαντοποιός. ἀλλ᾽ ὅμως ἅπαντά γε ταῦτά ἐστι, τὸ μὲν πλῆθος ἕξ, λεγόμενα δὲ διχῶς. ἢ γὰρ ὡς τὸ καθ᾽ ἕκαστον, ἢ ὡς τὸ γένος αὐτοῦ, ἢ ὡς τὸ συμβεβηκὸς, ἢ ὡς τὸ γένος τοῦ συμβεβηκότος· ἢ ὡς συμπλεκόμενα ταῦτα, ἢ κατὰ δύναμιν, ἢ ἁπλῶς λεγόμενα, ἔτι ὡς ἐνεργοῦντα. διαφέρει δὲ τοσοῦτον, ὅτι τὰ μὲν ἐνεργοῦντα καὶ τὰ καθ᾽ ἕκαστον ἅμα ἐστὶ καὶ E οὐκ ἔστιν, αὐτά τε ἐστι, καὶ ὧν αἴτια· οἷον ὅδε ὁ ἰατρεύων, τῷδε τῷ ὑγιαζομένῳ· καὶ ὅδε ὁ οἰκοδόμος, τῷδε τῷ οἰκοδομουμένῳ· τὰ δὲ κατὰ δύναμιν, οὐκ ἀεί. φθείρεται γὰρ οὐχ ἅμα ἡ οἰκία καὶ ὁ οἰκοδόμος.

Κεφάλαιον γ.

Στοιχεῖον λέγεται, ἐξ οὗ σύγκειται πρώτου ἐνυπάρχοντος ἀδιαιρέτου F τῷ εἴδει, εἰς ἕτερον εἶδος, οἷον, φωνῆς στοιχεῖα, ἐξ ὧν σύγκειται ἡ φωνὴ, καὶ εἰς ἃ διαιρεῖται ἔσχατα· ἐκεῖνα δὲ μηκέτ᾽ εἰς ἄλλας φωνὰς ἑτέρας τῷ εἴδει αὐτῶν· ἀλλὰ κἂν διαιρεῖται, τὰ μόρια ὁμοειδῆ· οἷον, ὕδατος τὸ μόριον, ὕδωρ· ἀλλ᾽ οὐ τῆς συλλαβῆς. ὁμοίως δὲ καὶ τὰ τῶν σωμάτων στοιχεῖα λέγουσιν οἱ λέγοντες, εἰς ἃ διαιρεῖται τὰ σώματα ἔσχατα, ἐκεῖνα δὲ μηκέτ᾽ εἰς ἄλλα εἴδει διαφέ-